ΠΥ. οὔκουν ὀνείδη τάδε κλύων ῥύσει τέκνα;
ΟΡ. δακρύοις κατασπένδω σ'. ΗΛ. ἐγὼ δ' οἴκτοισί γε.
ΠΥ. παύσασθε, καὶ πρὸς ἔργον ἐξορμώμεθα.
εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζουσ' ἀραί,
κλύει. σὺ δ', ὦ Ζεῦ πρόγονε καὶ Δίκης σέβας,
δότ' εὐτυχῆσαι τῷδ' ἐμοί τε τῇδέ τε·
τρισσοῖς φίλοις γὰρ εἷς ἀγών, δίκη μία.
ΗΛ. Μυκηνίδες ὦ φίλιαι, str.
τὰ πρῶτα κατὰ Πελασγὸν ἕδος Ἀργείων.
ΧΟ. τίνα θροεῖς αὐδάν, πότνια; παραμένει
γὰρ ἔτι σοι τόδ' ἐν Δαναϊδῶν πόλει.
ΗΛ. στῆθ' αἳ μὲν ὑμῶν τόνδ' ἁμαξήρη τρίβον,
αἳ δ' ἐνθάδ' ἄλλον οἶμον εἰς φρουρὰν δόμων.
ΧΟ. τί δέ με τόδε χρέος ἀπύεις,
ἔνεπέ μοι, φίλα.
ΗΛ. φόβος ἔχει με μή τις ἐπὶ δώμασι
σταθεὶς ἐπὶ φοίνιον αἷμα
πήματα πήμασιν ἐξεύρῃ.
ΗΜΙΧ. χωρεῖτ', ἐπειγώμεσθ'· ἐγὼ μὲν οὖν τρίβον
τόνδ' ἐκφυλάξω, τὸν πρὸς ἡλίου βολάς.
ΗΜΙΧ. καὶ μὴν ἐγὼ τόνδ', ὃς πρὸς ἑσπέραν φέρει.
ΗΛ. δόχμιά νυν κόρας διάφερ' ὀμμάτων
ἐκεῖθεν ἐνθάδ', εἶτα παλινσκοπιάν.
ΧΟ. ἔχομεν ὡς θροεῖς.
ΗΛ. ἑλίσσετέ νυν βλέφαρον, antistr.
κόρας διάδοτε διὰ βοστρύχων πάντῃ.
ΗΜΙΧ. ὅδε τις ἐν τρίβῳ προσέρχεται. τίς ὅδ' ἄρ' ἀμ-
φὶ μέλαθρον πολεῖ σὸν ἀγρότας ἀνήρ;
ΗΛ. ἀπωλόμεσθ' ἄρ', ὦ φίλαι· κεκρυμμένους
θῆρας ξιφήρεις αὐτίκ' ἐχθροῖσιν φανεῖ.

---

ἢ ζῆν ἅπασιν ἢ θανεῖν ὀφείλεται.

---

1238. ῥῦσαι C 1243. δός c C 1246. φίλιαι] Hermannus, φίλαι libri. 1251. τήνδ' C 1254. ἔννεπε fere libri. 1255. δώματι C 1256. φοίνιον] Triclinius, φόνιον libri. 1260. τὸν ὅς C 1264. εἶτ' ἐπ' ἄλλην σκοπιάν F C 1267. κόρας διάδοτε] Canterus, κόραισι δίδοτε libri. πάντα C 1272. ἐχθροῖσι φανεῖ A ἐχθροῖς εἰ φανεῖ (vel φανῇ) ceteri.